# ΙΕΡΑΙ ΤΕΛΕΤΑΙ

ΕΠΙ ΤΗι

ΕΝΑΡΞΕΙ ΤΩΝ ΜΑΘΗΜΑΤΩΝ,

ΤΩΝ ΕΝΙΑΥΣΙΩΝ ΕΞΕΤΑΣΕΩΝ

ΚΑΙ ΕΠΙ ΤΗι

ΕΠΙΔΟΣΕΙ ΤΩΝ ΔΙΠΛΩΜΑΤΩΝ ΤΟΙΣ ΤΕΛΕΙΟΦΟΙΤΟΙΣ

ΤΗΣ ΕΝ ΧΑΛΚΗι

ΙΕΡΑΣ ΘΕΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ

218

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
1901

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

# ΙΕΡΑΙ ΤΕΛΕΤΑΙ

ΕΠΙ ΤΗι

ΕΝΑΡΞΕΙ ΤΩΝ ΜΑΘΗΜΑΤΩΝ,

ΤΩΝ ΕΝΙΑΥΣΙΩΝ ΕΞΕΤΑΣΕΩΝ

ΚΑΙ ΕΠΙ ΤΗι

ΕΠΙΔΟΣΕΙ ΤΩΝ ΔΙΠΛΩΜΑΤΩΝ ΤΟΙΣ ΤΕΛΕΙΟΦΟΙΤΟΙΣ

ΤΗΣ ΕΝ ΧΑΛΚΗι

ΙΕΡΑΣ ΘΕΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
1901

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

SISMANOGLIO

# ΤΕΛΕΤΗ

## ΕΠΙ ΤΗι ΕΝΑΡΞΕΙ ΤΩΝ ΜΑΘΗΜΑΤΩΝ

## ΤΗΣ ΕΝ ΧΑΛΚΗι

## ΙΕΡΑΣ ΘΕΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ

SISMANOGLIO MEGARO

**Ὁ Διάκονος.** Εὐλόγησον, Δέσποτα.

**Ὁ Ἀρχιερεύς.** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε. κτλ,

**Καὶ εὐθὺς ὁ ψαλμός.** Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου.

**Εἶτα.** Θεὸς Κύριος καὶ ἐπέφανεν. **κτλ.**

**Καὶ τὰ ἑφεξῆς ἀπολυτίκια**

**εἰς ἦχον πλ. δ΄.**

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας· φιλάνθρωπε, δόξα σοι.

**Εἶτα ἦχος ὁ αὐτός.**

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένει-

μεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

**Δόξα εἰς ἦχον α΄.**

Τοὺς τρεῖς μεγίστους φωστῆρας τῆς Τρισηλίου Θεότητος, τοὺς τὴν οἰκουμένην ἀκτῖσι δογμάτων θείων πυρσεύσαντας, τοὺς μελιρρύτους ποταμοὺς τῆς σοφίας, τοὺς τὴν κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας, Βασίλειον τὸν Μέγαν, καὶ τὸν Θεολόγον Γρηγόριον, σὺν τῷ κλεινῷ Ἰωάννῃ τῷ τὴν γλῶτταν χρυσορρήμονι, πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν· αὐτοὶ γὰρ τῇ Τριάδι ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

**Καὶ νῦν Θεοτοκίον ἦχος δ΄.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Καὶ εὐθὺς τὸ α΄ ἀντίφωνον τοῦ δ΄. ἤχου.**

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

**Δόξα.**

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει



ὑψοῦται, λαμπρύνεται τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**Καὶ νῦν.**

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

**Καὶ εὐθὺς τὸ προκείμενον.**

Τὸ στόμα μου λαλήσει σοφίαν **κτλ.**

**Ὁ Διάκονος.** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ Ἀρχιερεύς.** Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις . . .

**Τὸ** Πᾶσα πνοὴ . . .

**Εἶτα.** Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως . . .

**Καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς τῶν Ἁγίων Πατέρων (ζήτει τῇ ια΄ Ὀκτωβρίου).**

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλ-

θῇ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

**Δόξα.**

Ταῖς τῶν Ἀποστόλων καὶ τῶν Διδασκάλων πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Εἶτα στιχ.**

Ἐλεῆμον, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Καὶ τὸ ἰδιόμελον. ἦχος πλ. β'.**

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας· ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν· ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς, ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

**Ἕτερον, ἦχος α'.**

Γλώσσαις ἀλλογενῶν, ἐκαινούργησας, Χριστέ, τοὺς σοὺς μαθητάς· ἵνα δι' αὐτῶν σε κηρύξωσι τὸν ἀθάνατον Λόγον καὶ Θεόν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



**Ἕτερον, ἦχος ὁ αὐτός.**

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον· βρύει προφητείας, ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, ἁλιεῖς θεολόγους ἀνέδειξεν, ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας. Ὁμοούσιε καὶ ὁμόθρονε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε, δόξα σοι.

**Ἕτερον, ἦχος β'.**

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

**Εἶτα ὁ Διάκονος.**

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ Τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων· ἱκεσίαις τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φωτίου ἀρχιεπισκόπου Κωνσταν-

SISMANOGLIO MEGARO

τινουπόλεως τοῦ Ὁμολογητοῦ· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν ἁγίων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ ὑγείας καὶ διαφυλάξεως τῶν ἐνθέρμων προστατῶν καὶ ἐφόρων, εὐεργετῶν καὶ συνδρομητῶν τῆς ἱερᾶς ταύτης Σχολῆς.

Ἔτι δεόμεθα ὑπὲρ εὐσταθείας, γαληνιαίας διαμονῆς, συντηρήσεως καὶ διαφυλάξεως ἀπὸ πάσης ὁρατῆς καὶ ἀοράτου προσβολῆς τῆς ἱερᾶς ταύτης Σχολῆς.

Ἔτι δεόμεθα ὑπὲρ ὑγείας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἐν τῷ ἱερῷ τούτῳ Καταστήματι πιστῶς καὶ θεαρέστως ἐναγωνιζομένων διδασκάλων καὶ μαθητῶν, τῶν γονέων καὶ κηδεμόνων αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι πᾶσαν ὀργὴν τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν

SISMANOGLIO MEGARO



Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

**Εἶτα ὁ Ἀρχιερεύς.**

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Εἶτα τὴν ἑπομένην εὐχὴν ὁ Ἀρχιερεύς.**

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὸν Σολομῶντα σοφίαν διδάξας, καὶ τοὺς ἁγίους Σου μαθητὰς φωτίσας καὶ ἐξ ἁλιέων θεολόγους αὐτοὺς καὶ κήρυκας ἀναδείξας, Θεὲ τοῦ παντὸς ὑπεράγαθε, ἔπιδε ἐπὶ ταῖς ἱκεσίαις τῶν ταπεινῶν δούλων Σου, καὶ ἐπάκουσον ἡμῶν δεομένων τῆς Σῆς ἀγαθότητος ὑπὲρ τῆς ἐν τῷ Σῷ ἐλέει καὶ τῇ Σῇ προνοίᾳ συστάσης ἱερᾶς ταύτης Σχολῆς πρὸς φωτισμὸν τῶν ἐν αὐτῇ μαθητευόντων, καὶ διαφύλαξον αὐτὴν στερεὰν καὶ ἀκλόνητον καὶ ὑπεράνω πάσης ἐπηρείας. Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς καὶ ὀρθοδόξους λατρευτάς Σου στερέωσον, τὸν κόσμον εἰρήνευσον, τὴν ἁγίαν Σου Ἐκκλησίαν καλῶς διαφύλαξον, τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε, καὶ πάντας εἰς τὴν Σὴν ἀγάπην καὶ τῆς ὀρθοδόξου Σου πίστεως τὴν ἑνότητα ἀνακάλεσον. Τοὺς ἐνθέρμους προστάτας καὶ ζηλωτὰς ἐφόρους τῆς

ἱερᾶς ταύτης Σχολῆς ἐνίσχυσον ἐπαγρυπνεῖν πρὸς βελτίωσιν καὶ στερέωσιν αὐτῆς, καὶ πάντας τοὺς αὐτῇ βοηθοῦντας ἀντάμειψον τῇ πλουσίᾳ Σου χειρὶ ἐπαρκούντως. Συνέργει δὲ καὶ τοῖς ἐν αὐτῇ διδάσκουσι πρὸς τοὺς πόνους τῆς διδασκαλίας καὶ τὴν ἐκ τῆς ἐπιστασίας μέριμναν, καὶ δὸς αὐτοῖς πνεῦμα σοφίας, πνεῦμα συνέσεως, καὶ φώτισον αὐτούς τε καὶ τοὺς διδασκομένους διὰ τῆς χάριτος τοῦ παναγίου Σου Πνεύματος, ὅπως φωτισθέντες δοξάσωσι τὸ πανάγιόν Σου ὄνομα. Σὺ γὰρ εἶ ἡ πηγὴ πάσης σοφίας καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ **κτλ.**

**Καὶ ἀπόλυσις.**

Δόξα σοι, ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

**Οἱ χοροί.** Δόξα Πατρὶ καὶ Υἱῷ **κτλ.** **Ὁ Ἀρχιερεύς.** Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν κτλ.

# ΤΕΛΕΤΗ

ΕΠΙ ΤΗ

## ΕΝΑΡΞΕΙ ΤΩΝ ΕΝΙΑΥΣΙΩΝ ΕΞΕΤΑΣΕΩΝ ΤΗΣ ΣΧΟΛΗΣ

**Εἰπόντος τοῦ Διακόνου.** Εὐλόγησον Δέσποτα.

**Ὁ Πατριάρχης λέγει.** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν κτλ.



**Εἶτα ὁ αὐτός.** Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε, Παράκλητε κτλ.

**Ὁ Διάκονος.** Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν.

**Ὁ Πατριάρχης ἐκφωνεῖ.** Ὅτι σοῦ ἐστιν.

**Εἶτα τὸ τροπάριον, ἦχος πλ. δ΄.**

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας· Φιλάνθρωπε δόξα σοι.

**Καὶ τὸ κοντάκιον ἦχος ὁ αὐτός.**

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

**Εἶτα δόξα ἦχος α΄.**

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον· βρύει προφητείας, ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, ἁλιεῖς θεολόγους ἀνέδειξεν· ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας. Ὁμοούσιε καὶ ὁμόθρονε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε δόξα σοι.

**Καὶ νῦν ἦχος β΄.**

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

SISMANOGLIO MEGARO

**Εἶτα ὁ Διάκονος.**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἁγίων ἀρχιερέων τῶν τε ἐνδημούντων καὶ τῶν ἐν ταῖς ἐπαρχίαις αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ ὑγείας καὶ διαφυλάξεως τῶν ἐνθέρμων προστατῶν, ἐφόρων, εὐεργετῶν καὶ συνδρομητῶν τῆς ἱερᾶς ταύτης Σχολῆς.

Ἔτι δεόμεθα ὑπὲρ εὐσταθείας, γαληνιαίαις διαμονῆς, συντηρήσεως καὶ διαφυλάξεως ἀπὸ πάσης ὁρατῆς καὶ ἀοράτου προσβολῆς τῆς ἱερᾶς ταύτης Σχολῆς.

Ἔτι δεόμεθα ὑπὲρ ὑγείας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἐν τῷ ἱερῷ τούτῳ Καταστήματι πιστῶς καὶ θεαρέστως ἐναγωνιζομένων διδασκάλων καὶ μαθητῶν, τῶν γονέων καὶ κηδεμόνων αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεόν, τοῦ ἀποστρέψαι πᾶσαν ὀργὴν τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν

SISMANOGLIO



Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

**Εἶτα ὁ Πατριάρχης.**

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Καὶ ἀπόλυσις.**

## ΤΕΛΕΤΗ

### ἐπὶ τῇ ἐπιδόσει τῶν διπλωμάτων

**Ὁ Διάκονος.** Εὐλόγησον Δέσποτα

**Ὁ Πατριάρχης.** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε. **κτλ.** Βασιλεῦ Οὐράνιε, Παράκλητε.

**Ὁ Διάκονος.** Τὸ τρισάγιον.

**Ὁ Πατριάρχης.** Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. **κτλ.**

**Εἶτα ὁ χορὸς τῶν ψαλτῶν τὰ ἑπόμενα τροπάρια.**

**Ἦχος πλ. δ΄.**

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας· Φιλάνθρωπε δόξα σοι.

**Εἶτα ἦχος ὁ αὐτός.**

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

**Δόξα ἦχος α΄.**

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον· βρύει προφητείας, ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, ἁλιεῖς Θεολόγους ἀνέδειξεν, ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας. Ὁμοούσιε καὶ ὁμόθρονε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε, δόξα σοι.

**Καὶ νῦν ἦχος β΄.**

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

**Εἶτα ὁ διάκονος.**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἁγίων ἀρχιερέων τῶν τε ἐνδημούντων καὶ τῶν ἐν ταῖς ἐπαρχίαις αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ ὑγείας καὶ διαφυλάξεως τῶν ἐνθέρμων προστατῶν, ἐφόρων, εὐεργετῶν καὶ συνδρομητῶν τῆς ἱερᾶς ταύτης Σχολῆς.



Ἔτι δεόμεθα ὑπὲρ εὐσταθείας, γαληνιαίας διαμονῆς, συντηρήσεως καὶ διαφυλάξεως ἀπὸ πάσης ὁρατῆς καὶ ἀοράτου προσβολῆς τῆς ἱερᾶς ταύτης Σχολῆς.

Ἔτι δεόμεθα ὑπὲρ ὑγείας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἐν τῷ ἱερῷ τούτῳ Καταστήματι πιστῶς καὶ θεαρέστως ἐναγωνιζομένων διδασκάλων καὶ μαθητῶν, τῶν γονέων καὶ κηδεμόνων αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀναδειχθῆναι ἀξίους τοῦ Θείου λόγου καὶ τῆς πνευματικῆς καρποφορίας ἐν τῷ χριστεπωνύμῳ πληρώματι λειτουργούς, τούς τε ἀπαρτισθέντας καὶ τοὺς λοιποὺς ἐν τῇ ἱερᾷ ταύτῃ Σχολῇ μαθητεύοντας.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονήν, **κτλ.** **(ἴδε σελ. 12).**

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεόν. **κτλ.** **(ἴδε σελ. 12).**

**Ὁ Πατριάρχης.** Ἐπάκουσον ἡμῶν **κτλ.** **(ἴδε σελ. 13).** **Καὶ ἀπόλυσις.**

Μετὰ τὴν ἀπόλυσιν τῆς ἱερᾶς τελετῆς ἕπονται τάδε.

Α΄. Προσφώνημα Διευθυντοῦ.

Β΄. Ἀνάγνωσις τῶν Πρακτικῶν τῆς Α΄ Β΄ καὶ Γ΄ Συνεδριάσεως.

Γ΄. Ἀνάγνωσις τοῦ γενικοῦ τύπου τοῦ διπλώματος.

Δ΄. Ἐπίδοσις τῶν Διπλωμάτων ὑπὸ τοῦ Διευθυντοῦ ἑνὶ ἑκάστῳ τῶν ἱερωμένων τελειοφοίτων καὶ ἀναγό-

SISMANOGLIO MEGARO

ρευσις αὐτοῦ Διδασκάλου τῆς ὀρθοδόξου χριστιανικῆς θεολογίας κατὰ τὸν νενομισμένον τύπον, καὶ ἀσπασμὸς παρ' αὐτοῦ τῆς χειρὸς τοῦ Πατριάρχου.

Ε'. Ἀνάγνωσις τῆς Ὁμολογίας ὑφ' ἑνὸς τελειοφοίτου ἐκ προσώπου πάντων καὶ ὑπογραφὴ αὐτῆς παρὰ πάντων.

ΣΤ'. Προσφώνημα τελειοφοίτου.

Ζ'. Ἀνάγνωσις τοῦ πρακτικοῦ τῆς δ' Συνεδριάσεως

Η'. Πολυχρονισμὸς τοῦ Πατριάρχου.

© SISMANOGLIO MEGARO



MANOGLIO